ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἤρχετο, καὶ ὡς 𝔊
14 παλαιὸς ἡμερῶν παρῆν, καὶ οἱ παρεστηκότες παρῆσαν αὐτῷ. [14]καὶ
ἐδόθη αὐτῷ ἐξουσία, καὶ πάντα τὰ ἔθνη τῆς γῆς κατὰ γένη καὶ
πᾶσα δόξα αὐτῷ λατρεύουσα· καὶ ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰ-
ώνιος, ἥτις οὐ μὴ ἀρθῇ, καὶ ἡ βασιλεία αὐτοῦ, ἥτις οὐ μὴ φθαρῇ.
15 — [15]καὶ ἀκηδιάσας ἐγὼ Δανιηλ ἐν τούτοις ἐν τῷ ὁράματι τῆς
16 νυκτὸς [16]προσῆλθον πρὸς ἕνα τῶν ἑστώτων καὶ τὴν ἀκρίβειαν
ἐζήτουν παρ᾽ αὐτοῦ ὑπὲρ πάντων τούτων. ἀποκριθεὶς δὲ λέγει μοι
17 καὶ τὴν κρίσιν τῶν λόγων ἐδήλωσέ μοι [17]Ταῦτα τὰ θηρία τὰ με-
18 γάλα εἰσὶ τέσσαρες βασιλεῖαι, αἳ ἀπολοῦνται ἀπὸ τῆς γῆς· [18]καὶ
παραλήψονται τὴν βασιλείαν ἅγιοι ὑψίστου καὶ καθέξουσι τὴν βα-
19 σιλείαν ἕως τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος τῶν αἰώνων. [19]τότε
ἤθελον ἐξακριβάσασθαι περὶ τοῦ θηρίου τοῦ τετάρτου τοῦ διαφθεί-
ροντος πάντα καὶ ὑπερφόβου, καὶ ἰδοὺ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ
καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ κατεσθίοντες πάντας κυκλόθεν καὶ
20 καταπατοῦντες τοῖς ποσί, [20]καὶ περὶ τῶν δέκα κεράτων αὐτοῦ τῶν

14 εξουσια 1⁰] + ※και τιμη βασιλικη 88 Sy || 15 fin.] + ※εταρασσον με 88 Sy; deinde add. οι διαλογισμοι μου 88: cf. 28 θ′ (διαλογισμος = 𝔐 רעיון saepius inuenitur in θ′, nusquam in 𝔊) || 18 εως του αιωνος 1⁰⌒2⁰ 88

---

οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν καὶ ἕως τοῦ παλαιοῦ θ′
14 τῶν ἡμερῶν ἔφθασεν καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη. [14]καὶ αὐτῷ
ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοί, φυ-
λαί, γλῶσσαι αὐτῷ δουλεύσουσιν· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώ-
νιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσε-
15 ται. — [15]ἔφριξεν τὸ πνεῦμά μου ἐν τῇ ἕξει μου, ἐγὼ Δανιηλ, καὶ
16 αἱ ὁράσεις τῆς κεφαλῆς μου ἐτάρασσόν με. [16]καὶ προσῆλθον ἑνὶ
τῶν ἑστηκότων καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ᾽ αὐτοῦ περὶ πάντων
τούτων, καὶ εἶπέν μοι τὴν ἀκρίβειαν καὶ τὴν σύγκρισιν τῶν λόγων
17 ἐγνώρισέν μοι [17]Ταῦτα τὰ θηρία τὰ μεγάλα τὰ τέσσαρα, τέσσαρες
18 βασιλεῖαι ἀναστήσονται ἐπὶ τῆς γῆς, αἳ ἀρθήσονται· [18]καὶ παρα-
λήμψονται τὴν βασιλείαν ἅγιοι ὑψίστου καὶ καθέξουσιν αὐτὴν ἕως
19 αἰῶνος τῶν αἰώνων. [19]καὶ ἐζήτουν ἀκριβῶς περὶ τοῦ θηρίου τοῦ
τετάρτου, ὅτι ἦν διάφορον παρὰ πᾶν θηρίον φοβερὸν περισσῶς,
οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, ἐσθίον καὶ
20 λεπτῦνον καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει, [20]καὶ περὶ

13 ην > B | και ult. > A† | ενωπ. αυτου προσηνεχθη] προσηχθη αυτω B Qpau. | προσηνεχθη] προσηγαγον αυτον A† = 𝔐 || 14 γλωσσαι] pr. και B pau. | αυτω δουλ.] tr. B | δουλευουσιν BA pau. || 16 παρ αυτου] + μαθειν AB^c || 17 τα μεγαλα > BQpau.: cf. 7 || 19 διαφερον B, sed in 7 etiam B -φορον; cf. 3

Technische Universität Dresden Universitätsbibliothek

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/918 UNIVERSITÄT LEIPZIG